Strabo X, 452: *ὁ δὲ τὴν Ἀλκμαιονίδα γράψας Ἰκαρίου τοῦ Πηνελόπης πατρὸς υἱεῖς γενέσθαι δύο, Ἀλυζέα καὶ Λευκάδιον, δυναστεῦσαι δ' ἐν τῇ Ἀκαρνανίᾳ τούτους μετὰ τοῦ πατρός· τούτων οὖν ἐπωνύμους τὰς πόλεις Ἔφορος λέγεσθαι δοκεῖ.*

Steph. Byz. schreibt s. v.: *Ἀλύζεια, πόλις Ἀκαρνανίας, ἀπὸ τοῦ παιδὸς Ἰκαρίου κληθεῖσα Ἀλύζου.* Hierher gehört auch wie die Stelle bei Strabo X, 452: *Κορίνθιοι δὲ πεμφθέντες ὑπὸ Κυψέλου καὶ Γόργου . . . . καὶ τῆς χεῤῥονήσου διορύξαντες τὸν ἰσθμὸν ἐποίησαν νῆσον τὴν Λευκάδα,* so Pseudoscymnus v. 465: *Λευκὰς μὲν ἐν πρώταις, Κορινθίων κτίσις.*

Dagegen sind die übrigen auf die Inseln an der akarnanischen Küste bezüglichen Bemerkungen zu farblos, als daß man die Beziehungen zu den Quellen aufzudecken auch nur versuchen könnte. Eine vielleicht zufällige, aber doch sehr merkwürdige Verwandtschaft zeigt sich zwischen Pseudoscymnus v. 470 ff. und Pseudoscylax § 35, die später in der Weiterführung der Länderbeschreibung über Aetolien, Naupaktos, das ozolische Lokris, Phokis, Boeotien nach Megaris bei beiden Schriftstellern ihre weitere Bestätigung findet. Der Jambograph schreibt v. 464 ff.[1]:

Fr. 38.

κεῖνται δὲ καὶ νῆσοι κατὰ ταύτην πλείονες·
465 *Λευκὰς μὲν ἐν πρώταις, Κορινθίων κτίσις,*
εἶθ' ἡ Κεφαλλήνων, Ἰθάκη δὲ πλησίον,
ἥ τε Πελοποννήσῳ σύνεγγυς κειμένη
Ζάκυνθος, εἶτεν αἱ καθήκουσαι πέραν
πρὸς τὸν Ἀχελῷον, λεγόμεναι δ' Ἐχινάδες.
470 *ἑξῆς διέξιμεν δὲ πάλι τὴν Ἑλλάδα,*[2]
ἐπὶ κεφαλαίῳ τούς τε περὶ αὐτὴν τόπους
ἐθνικῶς ἅπαντας κατ' Ἔφορον δηλώσομεν.

Pseudoscylax dagegen a. a. O.: *Ἀκαρνᾶνες δὲ στασιάσαντες ἔλαβον ἐκ Κορίνθου ἐποίκους χιλίους· οἱ δ' ἔποικοι ἀποκτείναντες Ἀκαρνᾶνας τούτων τὴν χώραν αὐτοὶ ἔχουσιν· αὕτη δ' ἐστὶ νῦν νῆσος τὸν ἰσθμὸν ἀποτεταφρευμένη . . . . καὶ κατὰ ταῦτα νῆσός ἐστιν Ἰθάκη καὶ πόλις καὶ λιμήν. μετὰ ταῦτα νῆσος Κεφαληνία. ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἀπέλιπον* (wie der Jambogr.) *μετὰ ταῦτα πόλις Ἀλυζία. . . . . καὶ πόλις Ἄστακος καὶ λιμὴν καὶ ποταμὸς Ἀχελῷος καὶ Οἰνειάδαι πόλις· καὶ εἰς ταύτας ἀνάπλους ἐστὶ κατὰ τὸν Ἀχελῷον. εἰσὶ δὲ καὶ ἄλλαι πόλεις Ἀκαρνάνων ἐν μεσογείᾳ. παράπλους δ' Ἀκαρνανίας ἐστὶν ἡμερῶν καὶ νυκτῶν δύο. ἡ δ' Ἀκαρνανία ἐστὶ πᾶσα εὐλίμενος· καὶ κατὰ ταῦτα νῆσοι παράκεινται πολλαί, ἃς ὁ Ἀχελῷος προσχωννύων ἤπειρον ποιεῖ. καλοῦνται δ' Ἐχινάδες αἱ νῆσοι.*

Fr. 39.

Pseudoscymnus v. 473—7:

μετὰ τοὺς Ἀκαρνᾶνας μὲν ἔστ' Αἰτωλία,
ἐξ Ἤλιδος λαβοῦσα τὴν ἀποικίαν·
475 *Κουρῆτες αὐτὴν γὰρ κατῴκουν τὸ πρότερον,*
ἀφικόμενος δ' Αἰτωλὸς ἐκ τῆς Ἤλιδος
Αἰτωλίαν ὠνόμασ' ἐκείνους ἐκβαλών.

Fr. 39a (M. Fr. 15 am Anfang).

Strabo VIII, 357: *Ἔφορος δέ φησιν Αἰτωλὸν ἐκπεσόντα ὑπὸ Σαλμωνέως τοῦ βασιλέως Ἐπειῶν καὶ Πισατῶν ἐκ τῆς Ἠλείας εἰς τὴν Αἰτωλίαν ὀνομάσαι τε ἀφ' ἑαυτοῦ τὴν χώραν καὶ συνοικίσαι τὰς αὐτόθι πόλεις.*

[1] Bezeichnend ist, daß, wie Ephorus (s. Fr. 60), so auch Pseudoscylax abgesehen von umgerechneten oder interpolierten Stellen durchaus die Entfernungen nach Tagfahrten angibt.

[2] v. 470—2 sind bei Mueller als Frgm. 55 aufgeführt.

Fr. 39[b] (M. Fr. 29 teilweise).

Strabo X, 463: *Ἔφορος δὲ τοὺς Αἰτωλοὺς εἰπὼν ἔθνος εἶναι μηδεπώποτε γεγενημένον ὑφ' ἑτέροις ἀλλὰ πάντα τὸν μνημονευόμενον χρόνον μεμενηκὸς ἀπόρθητον διά τε τὰς δυσχωρίας τῶν τόπων καὶ διὰ τὴν περὶ τὸν πόλεμον ἄσκησιν, ἐξ ἀρχῆς μέν φησιν ἅπασαν τὴν χώραν Κουρῆτας κατασχεῖν, ἀφικόμενον δ' ἐξ Ἤλιδος Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος καὶ τοῖς πολέμοις κρατοῦντος αὐτῶν τοὺς μὲν Κουρῆτας εἰς τὴν νῦν καλουμένην Ἀκαρνανίαν ὑποχωρῆσαι, τοὺς δ' Αἰτωλοὺς συγκατελθόντας Ἐπειοῖς τὰς ἀρχαιοτάτας κτίσαι τῶν ἐν Αἰτωλίᾳ πόλεων . . . . παρατίθησι δὲ τούτων μαρτύρια τὰ ἐπιγράμματα, τὸ μὲν ἐν Θέρμοις τῆς Αἰτωλίας ὅπου τὰς ἀρχαιρεσίας ποιεῖσθαι πάτριον αὐτοῖς ἐστιν, ἐγκεχαραγμένον τῇ βάσει τῆς Αἰτωλοῦ εἰκόνος:*

Χώρης οἰκιστῆρα παρ' Ἀλφειοῦ ποτε δίναις
θρεφθέντα σταδίων γείτον' Ὀλυμπιάδος
Ἐνδυμίωνος παῖδ' Αἰτωλὸν τόνδ' ἀνέθηκαν
Αἰτωλοί σφετέρας μνῆμ' ἀρετῆς ἐσορᾶν.

Fr. 39[c].

Strabo IX, 423: *παραπλήσια τούτοις καὶ τὰ περὶ τῶν Αἰτωλῶν εἰρημένα, φήσας γὰρ ἀπορθήτους αὐτοὺς ἐκ παντὸς τοῦ χρόνου τότε μὲν Αἰολέας φησὶν οἰκῆσαι τοὺς κατέχοντας βαρβάρους ἐκβαλόντας, τότε δ' Αἰτωλὸν μετὰ τῶν ἐξ Ἤλιδος Ἐπειῶν . . . . τῶν ἐχθρῶν· τούτους δ' ὑπ' Ἀλκμέωνος καὶ Διομήδους.*

Fr. 40 (M. Fr. 14).

Strabo IX, 427: *πόλεις δ' ἔσχον* (scil. *οἱ Λοκροί*) *Ἄμφισσάν τε καὶ Ναύπακτον, ὧν ἡ Ναύπακτος συμμένει τοῦ Ἀντιῤῥίου πλησίον, ὠνόμασται δ' ἀπὸ τῆς ναυπηγίας τῆς ἐκεῖ γενομένης, εἴτε τῶν Ἡρακλειδῶν ἐκεῖ ναυπηγησαμένων τὸν στόλον εἴθ', ὥς φησιν Ἔφορος, Λοκρῶν ἔτι πρότερον παρασκευασάντων.*

Fr. 40[a].

Steph. Byz. s. v.: *Ναύπακτος· πόλις Αἰτωλίας, ἀπὸ ναυπηγίας τῶν Ἡρακλειδῶν, ὡς Ἔφορος καὶ Στράβων.*

Zu vergleichen ist Eustath. ad B, 529: *καὶ ὅτι ἡ Ναύπακτος, ἣν Φίλιππος Αἰτωλοῖς προσέκρινεν, ἀπὸ ναυπηγίας Ἡρακλειδῶν ἢ Λοκρῶν ἐκλήθη στόλον ἐκεῖ ναυπηγησαμένων·*

Apollod. bibl. II, 8, 27 (II, 173 Wagner Myth. gr. I, p. 103): *ταῦτα Τήμενος ἀκούσας ἡτοίμαζε τὸν στρατὸν καὶ ναῦς ἐπήξατο τῆς Λοκρίδος ἔνθα νῦν ἀπ' ἐκείνου ὁ τόπος Ναύπακτος λέγεται.*

Paus. X, 38, 10: *ἐπὶ Ναυπάκτῳ γε οἶδα εἰρημένον, ὡς Δωριεῖς οἱ ὁμοῦ τοῖς Ἀριστομάχου παισὶ τὰ πλοῖα αὐτόθι ἐποιήσαντο, οἷς ἐς Πελοπόννησον ἐπεραιώθησαν.*

Auch bei Naupaktos hat der Jambograph zwischen den ihm vorliegenden Nachrichten eine Auswahl getroffen und sich für die von Ephorus abweichende erklärt. Bezeichnend ist es, daß bei Pseudoscymnus wie bei Pseudoscylax die Stadt sicher unter dem Einflusse der durch Philipp im Jahre 338 bewirkten Übergabe an die Aetoler [1] zu deren Besitzstand gerechnet wird, während Ephorus durch die im Jahre 401 durch die Lacedämonier geschehene Herausgabe an die Lokrer zu seiner Bemerkung veranlaßt sein dürfte.[2]

[1] s. Beloch, Griech. Gesch. II, S. 564 m. Anm. 1.

[2] Diod. XIV, 34, 2: *Λακεδαιμόνιοι δὲ καταλελυκότες τοὺς πολέμους καὶ σχολὴν ἔχοντες ἐστράτευσαν ἐπὶ Μεσσηνίους, ὧν οἱ μὲν ἐν Κεφαλληνίᾳ φρούριόν τι κατῴκουν, οἱ δὲ Ναύπακτον ἐν τοῖς προσεσπερίοις λεγομένοις Λοκροῖς, δόντων Ἀθηναίων. ἐκβαλόντες δ' αὐτοὺς ἐκ τῶν τόπων ἀπέδωκαν τὰ φρούρια, τὸ μὲν τοῖς τὴν Κεφαλληνίαν οἰκοῦσι, τὸ δὲ τοῖς Λοκροῖς.*

Verfolgen wir die Periegese weiter, so stoßen wir unmittelbar vor einem zweifellos aus Ephorus entnommenen Stücke auf die ozolischen Lokrer:

Fr. 41.

Pseudoscymnus v. 480—2:

480 *ἔπειτ' ἀπ' Αἰτωλῶν παροικοῦσιν Λοκροί,*
οὓς Ὀζόλας καλοῦσ', ἀποίκους γενομένους
ἀπὸ τῶν πρὸς Εὔβοιαν Λοκρῶν ἐστραμμένων.

Es sind Kolonisten der opuntischen bezw. epiknemidischen Lokrer (s. Plut. qu. gr. 15. Eustath. ad B, 531). Diese allgemein vertretene Tatsache findet ihre Bestätigung in der Inschrift über die Neubesiedlung *(ἐπιϝοικία)* aus dem 6. Jahrhundert (J. G. A. 321).

Es folgen die Delpher und Phoker:

Fr. 42.

Pseudoscymnus v. 483—7:

Δελφοὶ συνάπτουσιν δὲ τούτοις ἐχόμενοι
τό τε Πυθικὸν μαντεῖον ἀψευδέστατον.
485 *ἑξῆς δὲ Φωκεῖς, οὓς δοκεῖ συνοικίσαι*
Φῶκος, κατελθὼν μετὰ Κορινθίων πρότου·
γενεαλογεῖται δ' Ὀρνύτου τοῦ Σισύφου.

Mueller bemerkt zu dieser Stelle (Geogr. gr. min. I, p. 216), daß die Delpher hier für sich genannt sind und schließt daraus, daß der Bericht der Zeit der heiligen Kriege entstammen möge, man kann noch weiter gehen und unmittelbar auf Ephorus schließen, wenn man sich an die wörtliche Anspielung auf Ephorus' Worte bei Strabo IX, 422: *περὶ δέ τοῦ μαντείου λέγοντες, ὃ πάντων ἐστὶν ἀψευδέστατον, τοῖς οὕτως ἀπίστοις καὶ ψευδέσι χρησόμεθα λόγοις* erinnert.

Wir werden nun auch keinen Anstand nehmen, Ephorus für Phokos die Stelle zuzuweisen, die schon von Mueller angezogen ist:

Fr. 42[a].

Schol. Il. II, 517: *Ὄρνυτος ὁ Σισύφου εἰς Ὑάμπολιν ἐλθὼν ἐπικουρῆσαι τοῖς αὐτόθι τοῖς Λοκροῖς πολεμοῦσι καὶ νικήσας ἦρξε τῆς χώρας αὐτός· οὗ υἱὸς Φῶκος, ἀφ' οὗ Φωκέας αὐτοὺς ὠνόμασαν, οὗ Ὀρνυτίων, οὗ Ναύβολος, οὗ Ἴφιτος, οὗ Σχεδίος.*

Fr. 43 (Mue. Fr. 67).

Strabo IX, 400: *Ἔφορος δὲ καὶ ταύτῃ κρείττω τὴν Βοιωτίαν ἀποφαίνει τῶν ὁμόρων ἐθνῶν καὶ ὅτι μόνη τριθάλαττός ἐστι καὶ λιμένων εὐπορεῖ πλειόνων, ἐπὶ μὲν τῷ Κρισαίῳ κόλπῳ καὶ τῷ Κορινθιακῷ τὰ ἐκ τῆς Ἰταλίας καὶ Σικελίας καὶ Λιβύης δεχομένη, ἐπὶ δὲ τῶν πρὸς Εὔβοιαν μερῶν ἐφ' ἑκάτερα τοῦ Εὐρίπου σχιζομένης τῆς παραλίας τῇ μὲν ἐπὶ τὴν Αὐλίδα καὶ τὴν Ταναγρικήν, τῇ δ' ἐπὶ τὸν Σαλγανέα καὶ τὴν Ἀνθηδόνα, τῇ μὲν εἶναι συνεχῆ τὴν κατ' Αἴγυπτον καὶ Κύπρον καὶ τὰς νήσους θάλατταν, τῇ δὲ τὴν κατὰ Μακεδόνας καὶ τὴν Προποντίδα καὶ τὸν Ἑλλήσποντον. προστίθησι δὲ ὅτι καὶ τὴν Εὔβοιαν τρόπον τινὰ μέρος αὐτῆς πεποίηκεν ὁ Εὔριπος οὕτω στενὸς ὢν καὶ γεφύρᾳ συνεζευγμένος πρὸς αὐτὴν διπλέθρῳ.*

401: *τὴν μὲν οὖν χώραν ἐπαινεῖ διὰ ταῦτα, καί φησι πρὸς ἡγεμονίαν εὐφυῶς ἔχειν, ἀγωγῇ δὲ καὶ παιδείᾳ μὴ χρησαμένους* ἐπεὶ μηδὲ τοὺς ἀεὶ προισταμένους αὐτῆς, εἰ καί [τί] ποτε κατώρθωσαν, ἐπὶ μικρὸν τὸν χρόνον συμμεῖναι, καθάπερ Ἐπαμεινώνδας ἔδειξε· τελευτήσαντος γὰρ ἐκείνου τὴν ἡγεμονίαν ἀποβαλεῖν εὐθὺς τοὺς Θηβαίους γευσαμένους αὐτῆς μόνον. αἴτιον δὲ εἶναι τὸ λόγων καὶ ὁμιλίας τῆς πρὸς ἀνθρώπους ὀλιγωρῆσαι, μόνης δ' ἐπιμεληθῆναι τῆς κατὰ πόλεμον ἀρετῆς.*

Fr. 43a.

Pseudoscymnus v. 488—501:

ταύτης δὲ κεῖται πλησίον Βοιωτία,
χώρα μεγίστη καιρία τε τῇ θέσει·
χρῆται μόνη γὰρ τρισὶ θαλάτταις, ὡς λόγος.
ἔχει δὲ λιμένας οὓς μὲν εἰς μεσημβρίαν
βλέποντας εὐκαιρότατα πρὸς τὸν Ἀδρίαν
τὸ Σικελικόν τ' ἐμπόριον, οὓς δὲ πρὸς Κύπρον
καὶ τὸν κατ' Αἴγυπτόν τε τὰς νήσους τε πλοῦν.
οὗτοι δὲ περὶ τὴν Αὐλίδ' εἰσιν οἱ τόποι,
ἐν οἷς Ταναγραίων ἐστὶ κειμένη πόλις,
ὑπὲρ δὲ ταύτην ἐν μεσογείῳ Θεσπιαί·
τὸν δὲ τρίτον ἔξω τοῦ κατ' Εὔριπον δρόμον
ἐς τὸν Μακεδόνων Θετταλῶν θ' ἱκνούμενον,
ἐφ' οὗ παράλιός ἐστιν Ἀνθηδὼν πόλις.
Θῆβαι μέγισται δ' εἰσὶ τῆς Βοιωτίας.

Fr. 43b.

Steph. Byz. s. v.: *Βοιωτία μόνη τῆς Ἑλλάδος ἐπὶ τρισὶ θαλάττιας διήκοντας ἔχει οἰκήτορας τοὺς μὲν πρὸς Πελοπόννησον ἐστραμμένους καὶ τὸν Σικελικὸν καὶ Ἀδριατικὸν κόλπον, τοὺς δὲ πρὸς Αἴγυπτόν τε καὶ Κύπρον καὶ τὰς ἄλλας νήσους, τοὺς δὲ πρὸς Εὔριπον καὶ Μακεδονίας καὶ Θεσσαλίας θάλατταν.*[1]

Zu Ephorus' Siedlungsgeschichte Böotiens rechnet E. Meyer, Forsch. I, p. 11, A. 2 mit Recht auch Strabo IX, 401: *Ἡ δ' οὖν Βοιωτία πρότερον μὲν ὑπὸ βαρβάρων ᾠκεῖτο Ἀόνων καὶ Τεμμίκων ἐκ τοῦ Σουνίου πεπλανημένων καὶ Λελέγων καὶ Ὑάντων. εἶτα Φοίνικες ἔσχον οἱ μετὰ Κάδμου, ὃς τήν τε Καδμείαν ἐτείχισε καὶ τὴν ἀρχὴν τοῖς ἐκγόνοις ἀπέλιπεν· ἐκεῖνοι δὲ τὰς Θήβας τῇ Καδμείᾳ προσέκτισαν καὶ συνεφύλαξαν τὴν ἀρχὴν ἡγούμενοι τῶν πλείστων Βοιωτῶν ἕως τῆς τῶν Ἐπιγόνων στρατείας. κατὰ δὲ τούτους ὀλίγον χρόνον ἐκλιπόντες τὰς Θήβας ἐπανῆλθον πάλιν· ὡς δ' αὔτως ὑπὸ Θρᾳκῶν καὶ Πελασγῶν ἐκπεσόντες ἐν Θετταλίᾳ συνεστήσαντο τὴν ἀρχὴν μετὰ Ἀρναίων ἐπὶ πολὺν χρόνον, ὥστε καὶ Βοιωτοὺς κληθῆναι πάντας. εἶτ' ἀνέστρεψαν εἰς τὴν οἰκείαν ἤδη τοῦ Αἰολικοῦ στόλου παρεσκευασμένου περὶ Αὐλίδα τῆς Βοιωτίας, ὃν ἔστελλον εἰς τὴν Ἀσίαν οἱ Ὀρέστου παῖδες. προσθέντες δὲ τῇ Βοιωτίᾳ τὴν Ὀρχομενίαν (οὐ γὰρ ἦσαν κοινῇ πρότερον, οὐδ' Ὅμηρος μετὰ Βοιωτῶν αὐτοὺς κατέλεξεν ἀλλ' ἰδίᾳ, Μινύας προσαγορεύσας) μετ' ἐκείνων ἐξέβαλον τοὺς μὲν Πελασγοὺς εἰς Ἀθήνας, ἀφ' ὧν ἐκλήθη μέρος τι τῆς πόλεως Πελασγικόν (ᾤκησαν δὲ ὑπὸ τῷ Ὑμηττῷ) τοὺς δὲ Θρᾷκας ἐπὶ τὸν Παρνασσόν. Ὕαντες δὲ τῆς Φωκίδος Ὕαν πόλιν ᾤκισαν.*[2]

Fr. 44 (M. Fr. 67b).

Hesych. s. v. *Ταναγραίων φυήν· Κητεῖ ὁμοιοτάτην. Ἔφορος λέγει εἶναί τινα ἐν Τανάγρᾳ παχύτατον, ὃς ἐλέγετο Κητεύς.* Ein Wortspiel, vgl. Athen. XII, 551 A mit der Anm. Kaibels, das auf den Volkscharakter der Boeoter anspielt (s. d. zweite Hälfte von Frgm. 43) und wohl einer Komödie entnommen ist.

---

[1] S. R. Pöhlmann. Hellen. Anschauungen über den Zusammenhang zwischen Natur und Geschichte 1879, S. 57. und Tozer, A history of ancient geography, Cambridge 1897, S. 207 über Ephorus' Geogr.: Nothing could be truer than his remark concerning Boeotia. that its habitants possessed an extremely advantageous position in Greece from their commanding three seas usw.

[2] s. Fr. 42a.

Fr. 45 (M. Fr. 67 d).

Steph. s. v. *Τέλφουσα ..... ἔστι καὶ Βοιωτίας Τελφούσιον. Στράβων ἐνάτῃ* (410). *Ἔφορος δὲ Τιλφωσσαῖον ὄρος ἐν Ἀλαλκομενίᾳ. Πίνδαρος δὲ καὶ Κηφισίδα καλεῖ ταύτην.*

Hierher gehört wahrscheinlich auch Strabo IX, 413 am Ende; dort heißt es von der Stadt Alalkomenai und ihren Bewohnern: *ἱεροὶ ὄντες παρεῖντο τῆς στρατείας. καὶ γὰρ ἀπόρθητος ἀεὶ διετέλεσεν ἡ πόλις οὔτε μεγάλη οὖσα οὔτ' ἐν εὐερκεῖ χωρίῳ κειμένη, ἀλλ' ἐν πεδίῳ· τὴν δὲ θεὸν σεβόμενοι πάντες ἀπείχοντο πάσης βίας, ὥστε καὶ Θηβαῖοι κατὰ τὴν τῶν Ἐπιγόνων στρατείαν ἐκλιπόντες τὴν πόλιν ἐκεῖσε λέγονται καταφεύγειν καὶ ἐς τὸ ὑπερκείμενον ὄρος ἐρυμνὸν τὸ Τιλφώσσιον, ὑφ' ᾧ Τιλφῶσσα κρήνη καὶ τὸ τοῦ Τειρεσίου μνῆμα ἐκεῖ τελευτήσαντος κατὰ τὴν φυγήν.*

Fr. 46 (M. Fr. 67 e).

Steph. Byz. s. v. *Ἀκραιφία. Ἔφορος δὲ καὶ Ἀκραιφνίους καὶ Ἀκραιφνιώτας. Θεόπομπος δὲ τὰ Ἀκραίφνιά φησι καὶ τὸ ἐθνικὸν Ἀκραιφνιεύς.*

Fr. 47 (M. Fr. 68).

Schol. ad Il. IX, 381 ed. Dindorf-Maaß: *ἠδ' ὅς ἐς Ὀρχομενόν: Ὀρχομενὸν δὲ τὴν τῆς Βοιωτίας φησί, ὃν Μινυαὶ κατῴκησαν· πολὺ δὲ τούτῳ παράκειται πεδίον, εἰ πιστός ἐστιν Ἔφορος, πλῆρες πολλῶν ἀγαθῶν, ὧν ταῖς ἐκεῖσε τιμωμέναις Χάρισι πέμπουσιν οἱ περίοικοι.*

Vgl. Strabo IX, 414: (*Ὀρχομενὸς*) *φαίνεται δὲ τὸ παλαιὸν καὶ πλουσία τις γεγονυῖα πόλις καὶ δυναμένη μέγα ..... Ἐτεοκλῆς δέ, τῶν βασιλευσάντων ἐν Ὀρχομενῷ τις, Χαρίτων ἱερὸν ἱδρυσάμενος πρῶτος ἀμφότερα ἐμφαίνει, καὶ πλοῦτον καὶ δύναμιν, ὅς εἴτ' ἐν τῷ λαμβάνειν χάριτας εἴτ' ἐν τῷ διδόναι κατορθῶν εἴτε καὶ ἀμφότερα τὰς θεὰς ἐτίμησε ταύτας. λέγουσι δὲ καὶ τὸ χωρίον, ὅπερ ἡ λίμνη κατέχει νῦν ἡ Κωπαΐς, ἀνεψῦχθαι πρότερον καὶ γεωργεῖσθαι παντοδαπῶς ὑπὸ τοῖς Ὀρχομενίοις ὂν πλησίον οἰκοῦσι· καὶ τοῦτ' οὖν τεκμήριον τοῦ πλούτου τιθέασι,* und Schol. ad Pind. Ol. XIV, 1a ed. Drachmann, p. 390: *Καφισίων ὑδάτων λαχοῖσαι .... προσφωνεῖ ταῖς Χάρισιν τιμωμέναις κατὰ τὸν Βοιωτικὸν Ὀρχομενόν· αἷς λέγεται πρῶτος Ἐτέοκλος τεθυκέναι ὁ Κηφισοῦ παῖς.*

Fr. 48.

Pseudoscymnus 502—7:

εἶτεν συνάπτει Μέγαρα, Δωρικὴ πόλις·
σύμπαντες αὐτὴν ἐπόλισαν γὰρ Δωριεῖς,
πλεῖστοι Κορίνθιοί τε καὶ Μεσσήνιοι.
505 *λέγουσι δ' Ὀγχηστοῦ γενόμενον ἐγκρατῆ*
Μεγαρέ' ἀφ' αὑτοῦ τοῦτο θέσθαι τοὔνομα.
ἡ Μεγαρὶς ἀφορίζει δὲ τὴν Βοιωτίαν.

Zu vergleichen ist Strabo IX, 393: *Μετὰ δὲ τὴν τῶν Ἡρακλειδῶν κάθοδον καὶ τὸν τῆς χώρας μερισμὸν ὑπ' αὐτῶν καὶ τῶν συγκατελθόντων αὐτοῖς Δωριέων ἐκπεσεῖν τῆς οἰκείας συνέβη πολλοὺς εἰς τὴν Ἀττικήν, ὧν ἦν καὶ ὁ τῆς Μεσσήνης βασιλεὺς Μέλανθος· οὗτος δὲ καὶ τῶν Ἀθηναίων ἐβασίλευσεν ἑκόντων, νικήσας ἐκ μονομαχίας τὸν τῶν Βοιωτῶν βασιλέα Ξάνθον. εὐανδρούσης δὲ τῆς Ἀττικῆς διὰ τοὺς φυγάδας φοβηθέντες οἱ Ἡρακλεῖδαι παροξυνόντων αὐτοὺς μάλιστα τῶν ἐν Κορίνθῳ καὶ τῶν ἐν Μεσσήνῃ, τῶν μὲν διὰ τὴν γειτνίασιν, τῶν δέ, ὅτι Κόδρος τῆς Ἀττικῆς ἐβασίλευε τότε ὁ τοῦ Μελάνθου παῖς, ἐστράτευσαν ἐπὶ τὴν Ἀττικήν· ἡττηθέντες δὲ μάχῃ τῆς μὲν ἄλλης ἐξέστησαν γῆς, τὴν Μεγαρικὴν δὲ κατέσχον καὶ τήν τε πόλιν ἔκτισαν τὰ Μέγαρα καὶ τοὺς ἀνθρώπους Δωριέας ἀντὶ Ἰώνων ἐποίησαν. ἠφάνισαν δὲ καὶ τὴν στήλην τὴν ὁρίζουσαν τούς τε Ἴωνας καὶ τοὺς Πελοποννησίους,* — und Paus. I, 39, 4: *Κόδρου δὲ ὕστερον βασιλεύοντος στρατεύουσιν ἐπ' Ἀθήνας Πελοποννήσιοι· καὶ ὡς οὐδὲν ἀποδειξάμενοι λαμπρὸν ἐκομίζοντο ὀπίσω, Μέγαρα Ἀθηναίων ἑλόντες Κορινθίων*

καὶ τῶν ἄλλων συμμάχων τοῖς ἐθέλουσιν ἔδωκαν οἰκῆσαι. Μεγαρεῖς μὲν οὕτως ἔθη καὶ φωνὴν μεταβαλόντες Δωριεῖς γεγόνασι· κληθῆναι δὲ οὕτω τὴν πόλιν φασὶν ἐπὶ Καρὸς τοῦ Φορωνέως ἐν τῇ γῇ ταύτῃ βασιλεύοντος· τότε πρῶτον λέγουσιν ἱερὰ γενέσθαι Δήμητρος αὐτοῖς, καὶ τοὺς ἀνθρώπους ὀνομάσαι Μέγαρα. οὕτω μὲν αὐτοὶ περὶ σφῶν Μεγαρεῖς λέγουσι. Βοιωτοὶ δὲ ἐν Ὀγχηστῷ Μεγαρέ τὸν Ποσειδῶνος οἰκοῦντα ἀφικέσθαι στρατιᾷ Βοιωτῶν φασὶ Νίσῳ τὸν πρὸς Μίνω πόλεμον συνδιοίσοντα, πεσόντα δὲ αὐτὸν ἐν τῇ μάχῃ ταφῆναί τε αὐτοῦ καὶ τῇ πόλει Μέγαρα ὄνομα ἀπὸ τούτου γενέσθαι πρότερον Νίσᾳ καλουμένῃ.[1]

Im unmittelbaren Anschluß an Fr. 30 schreibt Strabo VIII, 334: *οὕτω καὶ ἡμῖν προσήκει ἀκολουθοῦσι τῇ φύσει τῶν τόπων σύμβουλον ποιεῖσθαι τὴν θάλατταν· αὕτη δ' ἐκ τοῦ Σικελικοῦ πελάγους προσπεσοῦσα τῇ μὲν ἀναχεῖται πρὸς τὸν Κορινθιακὸν κόλπον, τῇ δ' ἀποτελεῖ χεῤῥόνησον μεγάλην τὴν Πελοπόννησον ἰσθμῷ στενῷ κλειομένην* —, während es bei Pseudoscymnus 508—510 heißt:

ὁ Κορίνθιος δὲ κόλπος ἐστὶν ἐχόμενος
ὅ τε Κεγχρεάτης, οἳ τὸν Ἰσθμὸν εἰς στενὸν
συνάγουσιν ἑκατέρωθεν ἠπειρούμενον.

Fr. 49.

Es folgt die allgemeine *(ἐπὶ κεφαλαίου)* Beschreibung der Peloponnes beim Jambographen, eingeleitet durch vers. 511—3:

εἶτ' ἔστι Πελοπόννησος ἑξῆς κειμένη,
κόλπους βαθεῖς ἔχουσα καὶ πολλὰς ἄκρας.
Μαλέαν μέγιστον Ταίναρόν τε λεγομένην,

womit zu vergleichen ist: Strabo VIII, 334: *ἔστι δὲ τὰ δύο μέγιστα συστήματα τῆς Ἑλλάδος, τό τε ἐντὸς Ἰσθμοῦ καὶ τὸ ἐκτὸς μέχρι τῆς ἐκβολῆς τοῦ Πηνειοῦ· ἔστι δὲ μεῖζον καὶ ἐπιφανέστερον τὸ ἐντὸς Ἰσθμοῦ· σχεδὸν δὲ καὶ ἀκρόπολίς ἐστιν ἡ Πελοπόννησος τῆς συμπάσης Ἑλλάδος . . . . . χωρὶς γὰρ τῆς λαμπρότητος καὶ δυνάμεως τῶν ἐνοικησάντων ἐθνῶν αὐτὴ ἡ τῶν τόπων θέσις ὑπογράφει τὴν ἡγεμονίαν ταύτην, κόλποις τε καὶ ἄκραις πολλαῖς καὶ τοῖς σημειωδεστάτοις, χεῤῥονήσοις μεγάλαις διαπεποικιλμένη, ὧν ἐκ διαδοχῆς ἑτέρα τὴν ἑτέραν ἔχει.*

Fr. 50.

Strabo V, 221: *καὶ τὴν Πελοπόννησον δὲ Πελασγίαν φησὶν Ἔφορος κληθῆναι.*

Fr. 51.

Pseudoscymnus 516—25:

τὰ μὲν οὖν βόρεια τῆς Πελοποννήσου μέρη
Σικυώνιοι κατέχουσιν, οἵ τε πρίν ποτε
Κόρινθον οἰκίσαντες ἐπιφανῆ πόλιν,
ἄλλοι τ' Ἀχαιοί· τοὺς πρὸς ἑσπέραν δ' ὅρους
520 *καὶ ζέφυρον Ἠλεῖοί τε καὶ Μεσσήνιοι·*
τὸ πρὸς μεσημβρίαν δὲ καὶ νότον κλίμα
Λάκωνες Ἀργεῖοί τε· πρὸς ἀνιόντα δὲ
ἥλιον ὅσαι κατέχουσι τὴν Ἀκτὴν πόλεις·
ἐν τῇ μεσογείῳ δ' ἐστὶν ἡ Φλιασία,
525 *τό τ' Ἀρκάδων μέγιστον ἐν τούτοις ἔθνος.*

[1] Vgl. Wilamovitz, Hom. Unters., S. 252 f. An Parallelstellen mögen aufgeführt werden zu der allgemein bekannten und anerkannten Besiedlung durch die Dorier: Herod. V. 76; Strabo VIII, 333, XIV, 653; Plut. qu. gr. 16; Paus. I. 42, 1.

Die allgemeine Skizze von der Peloponnes, von deren einzelnen Teilen Ephorusfragmente, abgesehen von der Geschichte der Besiedlung, nicht benannt auf uns gekommen sind, befindet sich zwischen zwei sicher aus Ephoros stammenden Stücken, demjenigen, das Boeotien behandelt, und dem, das die *οἰκισταί τῆς Πελοποννήσου* aufzählt; ich nehme keinen Anstand, den Inhalt der Verse für Ephorus in Anspruch zu nehmen.

Fr. 52.

Pseudoscymnus v. 526—34:

τοὺς Ἀρκάδας μὲν οὖν λέγουσ' αὐτόχθονας,
ὕστερον Ἀλήτην δ' οἰκίσαι Κορινθίους,
Φάλκην δὲ τὸν Σικυῶνα, τὴν δ' Ἀχαΐαν
Τισαμενόν, Ἤλιδος δ' ὑπάρχειν Ὄξυλον
530 *ἡγεμόνα, Κρεσφόντην δὲ τῆς Μεσσηνίας,*
Εὐρυσθένην δὲ καὶ Προκλῆ Λακεδαίμονος,
Ἄργους δὲ Κισσὸν καὶ μετ' αὐτοῦ Τήμενον,
τῶν δὲ περὶ τὴν Ἀκτὴν Ἀγέλαον, ὡς λόγος,
καὶ Δηϊφόντην γάμβρον [1] *ὄντα Τημένου.*

Fr. 52 a.

Strabo VIII, 389 extr.: *οὐκ ἄτοπον δ' ἴσως καὶ τοὺς οἰκιστὰς προσθεῖναι τῶν τὴν Πελοπόννησον οἰκούντων, ὥς εἶπεν Ἔφορος, τοὺς μετὰ τὴν Ἡρακλειδῶν κάθοδον, Κορίνθου μὲν Ἀλήτην, Σικυῶνος δὲ Φάλκην, Ἀχαίας δὲ Τισαμενόν, Ἤλιδος δ' Ὄξυλον, Μεσσήνης δὲ Κρεσφόντην, Λακεδαίμονος δ' Εὐρυσθένη καὶ Προκλῆ, Ἄργους δὲ Τήμενον κ[αὶ Κισσόν, τῶν δὲ] περὶ τὴν Ἀκτὴν Ἀργαῖον καὶ Δηιφόντην.*[2]

Die Autochthonie der Arkader behauptet das Weihgeschenk der Arkadier. Mitt. d. arch. Inst. XIV, 1889, 17:

αὐτοχθὼν ἱερὸς λαὸς ἀπ' Ἀρκαδίας.[3]

Ephoros erblickt in ihnen, wie Herodot (I, 146), ein pelasgisches Volk:

Fr. 53 (M. Fr. 54 b).

Strabo V, 220, 221: *Τοὺς δὲ Πελασγούς, ὅτι μὲν ἀρχαῖόν τι φῦλον κατὰ τὴν Ἑλλάδα πᾶσαν ἐπιπολάσαν καὶ μάλιστα παρὰ τοῖς Αἰολεῦσι τοῖς κατὰ Θετταλίαν, ὁμολογοῦσιν ἅπαντες σχεδόν τι. νομίζειν δέ φησιν Ἔφορος τὸ ἀνέκαθεν Ἀρκάδας ὄντας ἑλέσθαι στρατιωτικὸν βίον, εἰς δὲ τὴν αὐτὴν ἀγωγὴν προτρέποντας πολλοὺς ἅπασι τοῦ ὀνόματος μεταδοῦναι καὶ πολλὴν ἐπιφάνειαν κτήσασθαι καὶ παρὰ τοῖς Ἕλλησι καὶ παρὰ τοῖς ἄλλοις, παρ' ὅσους ποτὲ ἀφιγμένοι τετυχήκασι.*[4]

[1] Eine Änderung Muellers statt des hschr. *υἱόν*, die mit Rücksicht auf Strabo und die sonstigen Nachrichten als zweifellos richtig erscheint.

[2] Zwar sagt Theo prog. S. 67, Zeile 18, bei Spengel Rhet. gr. (Walz 161): *πλείω δ' ἔχομεν καὶ παρ' ἄλλων ἱστορικῶν λαβεῖν, παρὰ μὲν Ἐφόρου ἐκ τῆς πρώτης τὰ περὶ τὴν διαίρεσιν τῆς Πελοποννήσου κατὰ τὴν τῶν Ἡρακλειδῶν κάθοδον*, aber das hindert nicht, anzunehmen, daß die ausführliche Darstellung im ersten Buche, die lediglich geographisch skizzierende im vierten gestanden habe.

[3] Vgl. Thuk. I, 2, 3: Herod. II, 171, VIII, 73; Hellan. b. Harpokr. s. v. *αὐτόχθονες*.

[4] Als Quelle des Ephoros für diese Auffassung führt Strabo oder seine Quelle im selben Paragraphen Hesiod an: *τῷ δ' Ἐφόρῳ τοῦ ἐξ Ἀρκαδίας εἶναι τὸ φῦλον τοῦτο ἦρξεν Ἡσίοδος.*

Fr. 53 a.

Vgl. Eustath. ad Dionys. per. v. 347. Mueller, Geogr. gr. M. II, p. 278 f.: *φασὶ δὲ ἀνέκαθεν Ἀρκάδας γενέσθαι τοὺς Πελασγούς, ὡς καὶ ἀνωτέρω ἐῤῥέθη, στρατιωτικὸν ἑλομένους βίον κἀντεῦθεν ἐπιφανεῖς γενομένους· λέγονται*[1] *δέ τινες τῶν Πελασγῶν καὶ θαλασσοκρατῆσαι γενναίως ἔτη πε'.*

Fr. 54 (M. Fr. 24).

Censor. d. d. n. 17, § 3: Aut Ephorus, qui tradit Arcadas dicere apud se reges antiquos aliquot ad trecentos vixisse annos. Vgl. Plin. VII, 48 (154): Ephorus Arcadum reges tricenis annis.

Fr. 55 (M. Fr. 58).

Steph. Byz. s. v. *Νοστία, κώμη Ἀρκαδίας .... Ἔφορος τὸ ἐθνικὸν Νεστάνιος ἔφη, ὥστε κατ' αὐτὸν Νεστανίαν λέγεσθαι.*

Zur Besiedlung von Korinth ist zu vergleichen Vell. Paterc. I, 3: paulo ante Aletes, sextus ab Hercule, Hippotis filius, Corinthum, quae ante fuerat Ephyre claustra Peloponnesi continentem in Isthmo condidit; Schol. Pind. Ol. XIII, 14 (Christ): *Ἀλήτης ἡγήσατο τῆς ἀποικίας τῶν Ἡρακλειδῶν, ὅτε οἱ Ἡρακλεῖδαι κατῄεσαν εἰς Πελοπόννησον, καὶ αὐτὸς εἷς ὢν τῶν Ἡρακλειδῶν*; ferner Diod. VII, Fr. 9 (ed. Vogel), Paus. II, 4, 4, Ephorus Fr. 17 M., Conon narr. 26.

Phalkes von Sikyon erscheint unter den Söhnen des Temenos bei Nicol. Dam. 9 b. de Boor, Exc. d. ins. p. 9, von den Achäern heißt es bei Polyb. II, 41: *ἀπὸ γὰρ Τισαμενοῦ βασιλευθέντες, ὃς ἦν Ὀρέστου μὲν υἱός, κατὰ δὲ τὴν τῶν Ἡρακλειδῶν κάθοδον ἐκπεσὼν τῆς Σπάρτης κατέσχε τοὺς περὶ Ἀχαΐαν τόπους*; bei Strabo VIII, 383: *οἱ δ' Ἀχαιοὶ Φθιῶται μὲν ἦσαν τὸ γένος, ᾤκησαν δ' ἐν Λακεδαίμονι, τῶν δ' Ἡρακλειδῶν ἐπικρατησάντων ἀναληφθέντες ὑπὸ Τισαμενοῦ, τοῦ Ὀρέστου παιδός, ὡς προειρήκαμεν, τοῖς Ἴωσιν ἐπέθεντο καὶ γενόμενοι κρείττους τοὺς μὲν ἐξέβαλον, αὐτοὶ δὲ κατέσχον τὴν γῆν καὶ διεφύλαξαν τὸν αὐτὸν τῆς χώρας μερισμόν,*[2] *ὅνπερ καὶ παρέλαβον.*

Oxylos als Begründer des elischen Staates wird von Ephorus genannt:

Fr. 56 (M. Fr. 15).

Strabo VIII, 357: *τούτου (Αἰτωλοῦ,* s. oben Fr. 39 a) *δ' ἀπόγονον ὑπάρξαντα Ὄξυλον φίλον τοῖς περὶ Τήμενον Ἡρακλείδαις ἡγήσασθαί τε τὴν ὁδὸν κατιοῦσιν εἰς τὴν Πελοπόννησον καὶ μερίσαι*[2] *τὴν πολεμίαν αὐτοῖς χώραν καὶ τ' ἄλλα ὑποθέσθαι τὰ περὶ τὴν κατάκτησιν τῆς χώρας, ἀντὶ δὲ τούτων λαβεῖν χάριν τὴν εἰς τὴν Ἠλείαν κάθοδον,* und

Fr. 56 a:

X, 463: *δεκάτῃ συνοικισθῆναι περαιωθέντος ἐκ τῆς Αἰτωλίας. παρατίθησι (Ἔφορος) δὲ τούτων μαρτύρια τὰ ἐπιγράμματα ..... τὸ δ' ἐν τῇ ἀγορᾷ τῶν Ἠλείων ἐπὶ τῷ Ὀξύλου ἀνδριάντι:*

Αἰτωλός ποτε τόνδε λιπὼν αὐτόχθονα δῆμον
κτήσατο Κουρῆτιν γῆν δορὶ πολλὰ καμών·
Τῆς δ' αὐτῆς γενεᾶς δεκατόσπορος αἵματος υἱὸς
Ὄξυλος ἀρχαίην ἔκτισε τήνδε πόλιν.

[1] Ich halte es nicht für ausgeschlossen, daß die Liste der *θαλασσοκρατοῦντες* bis zu einem gewissen Grade auf Ephoros zurückzuführen ist.

[2] Man beachte die gleichmachende Geschichtsschreibung des Ephorus. Teilung der Peloponnes, Beibehaltung der Teilung von Achaia, Herbeiführung der Teilung, wo sie noch nicht stattgefunden hat, in Messenien und Lakonien. S. Fr. 57 und 58.

Besitzergreifung und Teilung[1] von Messenien durch Kresphontes finden wir:

Fr. 57 (M. Fr. 20).

Strabo VIII, 361: *Ἔφορος δὲ τὸν Κρεσφόντην, ἐπειδὴ εἷλε Μεσσήνην, διελεῖν φησιν εἰς πέντε πόλεις αὐτήν, ὥστε Στενύκλαρον μὲν ἐν μέσῳ τῆς χώρας ταύτης κειμένην ἀποδεῖξαι βασίλειον αὐτῷ, [εἰς δὲ τὰς ἄλλας] βασιλέας πέμψαι, Πύλον καὶ Ῥίον κ[αὶ Μεσόλαν καὶ] Ὑαμεῖτιν, ποιήσαντα ἰσονόμους πάντας τοῖς Δωριεῦσι τοὺς Μεσσηνίους· ἀγανακτούντων δὲ τῶν Δωριέων μεταγνόντα μόνον τὸν Στενύκλαρον νομίσαι πόλιν, εἰς τοῦτον δὲ καὶ τοὺς Δωριέας συναγαγεῖν πάντας.*

Damit ist zu vergleichen Diod. XV, 66, 2: . . . *καθόδου τῶν Ἡρακλειδῶν, ἀπὸ δὲ ταύτης Κρεσφόντης ἔλαχε τὴν Μεσσηνίαν μερίδα,* und Nicol. Dam. 10 bei de Boor a. a. O. S. 9, wo sein Tod erzählt wird; beide Nachrichten gehen auf Ephorus zurück.

Eurysthenes und Prokles, die Herrscher Lakoniens, teilen ebenfalls ihr Land:

Fr. 58 (M. Fr. 18).

Strabo VIII, 364: *φησὶ δ' Ἔφορος τοὺς κατασχόντας τὴν Λακωνικὴν Ἡρακλείδας Εὐρυσθένη τε καὶ Προκλῆ διελεῖν εἰς ἓξ μέρη καὶ πολίσαι τὴν χώραν· μίαν μὲν οὖν τῶν μερίδων, τὰς Ἀμύκλας, ἐξαίρετον δοῦναι τῷ προδόντι αὐτοῖς τὴν Λακωνικὴν* (scil. *Φιλονόμῳ* s. Strabo VIII, 365[2]: *κατὰ δὲ τὴν τῶν Ἡρακλειδῶν κάθοδον Φιλονόμου προδόντος τὴν χώραν τοῖς Δωριεῦσι μετανέστησαν ἐκ τῆς Λακωνικῆς εἰς τὴν τῶν Ἰώνων, τὴν καὶ νῦν Ἀχαΐαν καλουμένην*; Nicol. Dam. Fr. 36 M. F. H. G. III, S. 375[3]) *καὶ πείσαντι τὸν κατέχοντα αὐτὴν ἀπελθεῖν ὑπόσπονδον μετὰ τῶν Ἀχαιῶν εἰς τὴν Ἰωνίαν· τὴν δὲ Σπάρτην βασίλειον ἀποφῆναι σφίσιν αὐτοῖς· εἰς δὲ τὰς ἄλλας πέμψαι βασιλέας, ἐπιτρέψαντας δέχεσθαι συνοίκους τοὺς βουλομένους τῶν ξένων διὰ τὴν λειπανδρίαν·*[4] *χρῆσθαι δὲ Λᾶ μὲν να[υστάθμῳ διὰ τὸ εὐ]λίμενον, Αἴγυι δὲ πρὸς τοὺς πολέ[μους ὁρμητηρίῳ· καὶ] γὰρ ὁμορεῖν τοῖς κύκλῳ, Φάριδι δ[ὲ ἀρχείῳ, πλείστην] ἀπὸ τῶν ἐντὸς ἀσφάλειαν ἐχούσῃ. τ............ ὑπακούοντας δ' ἅπαντας τοὺς περιοίκους Σπαρτιατῶν ὅμως ἰσονόμους εἶναι, μετέχοντας καὶ πολιτείας καὶ ἀρχείων.* Vgl. noch Polyaen I, 10.

Kissos von Argos, neben dem Temenos, dessen Grab in der Nähe der Stadt lag, genannt wird, findet sich noch bei Strabo X, 481 erwähnt: *τὸν μὲν γὰρ* (Althaemenes) *ἱστορεῖσθαι Κίσσου παῖδα τοῦ τὸ Ἄργος κτίσαντος περὶ τὸν αὐτὸν χρόνον ἡνίκα Προκλῆς* (die Bevorzugung des Prokles ist bezeichnend für Ephorus) *τὴν Σπάρτην συνῴκιζε.* Vgl. Nicol. Dam. Fr. 9 bei de Boor a. a. O.

Über die Akte und Agelaus s. Pauly-Wissowa Bd. I, S. 1213 bezw 770. Für Deiphontes ist bezeichnend, was E. Meyer, Forsch. I, S. 104 A. 1 bemerkt. Vgl. Polyaen II, 12. Nicol. Dam. Fr. 9.

Als Beweis dafür, daß das vierte Jahrhundert sich mit der dorischen Besiedlung der Peloponnes beschäftigte, bleibt noch zu erwähnen Plato, legg. III, p. 683 D, wo der *Ἀθηναῖος ξένος* Megillos aus Sparta fragt: *Καὶ βασιλεὺς μὲν Ἄργους Τήμενος ἐγίγνετο, Μεσσήνης δὲ Κρεσφόντης, Λακεδαίμονος δὲ Προκλῆς καὶ Εὐρυσθένης.*

---

[1] S. Anmerk. 2. S. 16.

[2] Hoefer. Konon, S. 71 ff.

[3] Excerpt. de virt. *ὅτι τὸν Ἀμυκλαῖον νόμον κατὰ τὰς ὁμολογίας τῷ προδότῃ Φιλονόμῳ ἐξελόντες οἱ Ἡρακλεῖδαι ἀνέμητον ἀφῆκαν. Ὁ δὲ αἰσχυνόμενος ἐπὶ τῇ προδοσίᾳ οὐδαμοῦ ἐφαίνετο. Οἱ δὲ Ἡρακλεῖδαι ἀναδασάμενοι καὶ τοῦτον ἐνέμοντο. Ὕστερόν γε μὴν ἀφικομένῳ ἐκ Λήμνου σὺν Λαῷ, ὃν ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ <συνεπήγετο>, πάλιν ἀπέδοσαν. Καὶ ὃς τοῖς ἥκουσι διελὼν τὴν γῆν ᾤκει ἅμα αὐτοῖς βασιλεύων Ἀμυκλῶν.*

[4] Ein Grund, der für die Zeit des Ephorus paßt. S. Bruchmann, Beitr. z. Ephoros-Kritik I (Progr. des Kgl. König Wilhelms-Gymnasiums zu Breslau), S. 14.

Fr. 59 (M. Fr. 59).

Strabo VIII, 374: *καί φασι τὸν θεὸν τοῦτον (Ποσειδῶνα) ἀλλάξασθαι πρὸς μὲν Λητὼ τὴν Κάλαυρον ἀντιδόντα Δῆλον, πρὸς Ἀπόλλωνα δὲ Ταίναρον ἀντιδόντα Πυθώ. Ἔφορος δὲ καὶ τὸν χρησμὸν λέγει·*

> *ἶσόν τοι Δῆλόν τε Καλαύρειάν τε νέμεσθαι*
> *Πυθώ τ' ἠγαθέην καὶ Ταίναρον ἠνεμόεντα.*

Ähnlich bei Eust. ad Dion. per. v. 499, nur daß dabei auf einen *λόγος παροιμιώδης ἐπὶ τῶν ἴσα ἀνθαιρουμένων καὶ ἀντικαταλλασσόντων* Bezug genommen wird. Auch Pausanias (II. 33, 2) hat den Orakelspruch.

Fr. 60 (M. Fr. 61).

Pseudoscymnus v. 535—49:

> 535 *Κρήτη δὲ νῆσος τῆς Πελοποννήσου πέραν*
> *κεῖται μεγάλη τὸ μέγεθος εὐδαίμων τ' ἄγαν,*
> *ἀπὸ τῆς Μαλείας τῆς Λακωνικῆς ἄκρας*
> *κατὰ μῆκος εἰς τὸ πέλαγος ἄχρι τῆς Δωρίδος*
> *Ῥόδου παρεκτείνουσα καὶ πλείστοις σχεδὸν*
> 540 *ὄχλοις ἀπ' ἀρχῆς καὶ πόλεσιν οἰκουμένη.*
> *ἀρχαιοτάτους ἔχει δὲ τοὺς οἰκήτορας,*
> *τοὺς δὴ παρ' αὐτοῖς Ἐτεόκρητας λεγομένους.*
> *πρώτους δὲ Κρῆτάς φασι τῆς Ἑλληνικῆς*
> *ἄρξαι θαλάττης τάς τε νησιώτιδας*[1]
> 545 *πόλεις κατασχεῖν, ἃς δὲ καὶ συνοικίσαι*
> *αὐτῶν Ἔφορος εἴρηκεν εἶναί φησί τε*
> *ἐπώνυμον τὴν νῆσον ἀπὸ Κρητός τινος*
> *τοῦ δὴ γενομένου βασιλέως αὐτόχθονος,*
> = *πλοῦν ἡμέρας ἀπέχειν δὲ τῆς Λακωνικῆς.*[2] =

Fr. 61 (M. Fr. 62).

Strabo X, 479: *Τοῦ δὲ ποιητοῦ τὸ μὲν ἑκατόμπολιν*[3] *λέγοντος τὴν Κρήτην, τὸ δὲ ἐνενηκοντάπολιν,*[4] *Ἔφορος μὲν ὕστερον ἐπικτισθῆναι τὰς δέκα φησὶ μετὰ τὰ Τρωικὰ ὑπὸ τῶν Ἀλθαιμένει*[5] *συνακολουθησάντων Δωριέων· τὸν μὲν οὖν Ὀδυσσέα λέγει ἐνενηκοντάπολιν ὀνομάσαι· οὗτος μὲν οὖν πιθανός ἐστιν ὁ λόγος.*

Fr. 61 a.

Eustath. ad Iliadem II, 649: *ἄλλοι δὲ εἶπον, ὅτι ἑκατόμπολιν ὁ ποιητὴς τὴν Κρήτην εἰπὼν τὸ ἐφ' ἑαυτοῦ εἶπεν ἤγουν τὸ ἐπὶ τῶν ἡμερῶν, ἐν αἷς αὐτὸς περιῆν. ἐπὶ μέντοι τῶν Τρωικῶν ἐνενήκοντα ἦσαν, Ἀλθαιμένης δέ, φασιν, ἐκπεσὼν Ἄργους ἔκτισε τὰς δέκα, ἢ καὶ ἄλλως εἰπεῖν μετὰ τὰ Τρωικὰ ἐπεκτίσθησαν δέκα, ὡς ἱστορεῖ Ἔφορος, ὥστε κατὰ τούτους πρὸ μὲν τοῦ Ὁμήρου ἐνενήκοντα ἦσαν εἴτε Λεύκου <ἐκ>πολιορκήσαντος*[6] *τὰς δέκα εἴτε καὶ ἄλλως πως, ἐπὶ δὲ τοῦ Ὁμήρου ἑκατόν.*

[1] s. Anmerk. 1, S. 16.
[2] s. Anmerk. 1. S. 9.
[3] Il. II, 649.
[4] Od. XIX, 174.
[5] *Πελαιμένει* Niese a. a. O.
[6] *ἐκπολιορκήσαντος* wird zu schreiben sein statt des handschriftichen *πολιορκήσαντος*, das keinen Sinn gibt.

Über Althaemenes handelt, sicher im Anschluß an Ephorus, Strabo XIV, 653: *οἱ γὰρ Δωριεῖς οἱ τὰ Μέγαρα κτίσαντες μετὰ τὴν Κόδρου τελευτὴν οἱ μὲν ἔμειναν αὐτόθι, οἱ δὲ σὺν Ἀλθαιμένει τῷ Ἀργείῳ τῆς εἰς Κρήτην ἀποικίας ἐκοινώνησαν, οἱ δ' εἰς τὴν Ῥόδον καὶ τὰς λεχθείσας ἀρτίως πόλεις ἐμερίσθησαν.*[1] *ταῦτα δὲ νεώτερα τῶν ὑφ' Ὁμήρου λεγομένων ἐστί.*

Über die Eteokreter (Pseudoscymnus v. 542) vgl. Strabo X, 475 u. 478, und Diod. V, 64: *οἱ μὲν γὰρ τὴν Κρήτην κατοικοῦντές φασιν ἀρχαιοτάτους γενέσθαι παρ' αὐτοῖς τοὺς ὀνομαζομένους Ἐτεόκρητας αὐτόχθονας, ὧν τὸν μὲν βασιλέα Κρῆτα καλούμενον πλεῖστα καὶ μέγιστα κατὰ τὴν νῆσον εὑρεῖν τὰ δυνάμενα τὸν κοινὸν τῶν ἀνθρώπων βίον ὠφελῆσαι.*

Über die *θαλασσοκρατία* ist zu vergleichen Eustath. ad Il. II, 649: *ἱστοροῦνται δὲ καὶ ναυκρατῆσαί ποτε οἱ Κρῆτες,*[2] *ὥστε καὶ παροιμία εἰς τοὺς προσποιουμένους ἀγνοεῖν, ἅπερ ἀκριβῶς οἴδασιν, αὕτη· ὁ Κρὴς τὴν θάλατταν, ὅπερ ὁ γεωγράφος νοεῖ κατ' ἔλλειψιν τοῦ ἀγνοεῖ, ἵνα λέγῃ ἡ παροιμία, ὅτι Κρὴς ἀγνοεῖ τὴν θάλατταν, εἰρωνικοῦ δηλαδὴ ὄντος τοῦ λόγου.*

Eus. p. 13 Ha: *Τινὲς τὸν αὐτόχθονα Κρῆτα πρῶτον Κρήτης βασιλεῦσαί φασι.*

Eus. p. 46 Hk ab Abr. 764 Hier.: *Μίνως ἐθαλασσοκράτει* [als Erster genannt].

Über Kretas Lage und Bewohner vgl. auch Pseudoscylax 48: *οἰκοῦσι δ' ἐν Κρήτῃ Ἕλληνες οἱ μὲν ἄποικοι Λακεδαιμονίων, οἱ δ' Ἀργείων, οἱ δ' Ἀθηναίων, οἱ δ' ἀπὸ τῆς Ἑλλάδος τῆς ἄλλης, ὁπόθεν ἔτυχεν. — διάπλους δ' ἀπὸ Λακεδαίμονος ἕως ἐπὶ τὸ ἀκρωτήριον τῆς Κρήτης . . . . ἡμέρας δρόμος*[3] *. . . . λέγεται δ' εἶναι ἑκατόμπολις.* und Aristot. pol. II, 1271 b, 32: *δοκεῖ δ' ἡ νῆσος καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς· πάσῃ γὰρ ἐπίκειται τῇ θαλάσσῃ, σχεδὸν τῶν Ἑλλήνων ἱδρυμένων περὶ τὴν θάλασσαν πάντων· ἀπέχει γὰρ τῇ μὲν τῆς Πελοποννήσου μικρόν, τῇ δὲ τῆς Ἀσίας τοῦ περὶ Τριόπιον τόπου καὶ Ῥόδου. διὸ καὶ τὴν τῆς θαλάσσης ἀρχὴν κατέσχεν ὁ Μίνως, καὶ τὰς νήσους τὰς μὲν ἐχειρώσατο, τὰς δ' ᾤκισεν, τέλος δὲ ἐπιθέμενος τῇ Σικελίᾳ τὸν βίον ἐτελεύτησεν ἐκεῖ περὶ Κάμικον.* (Vgl. Eph. Fr. 99 M.) Die Gedanken berühren sich mit der Schilderung der Lage Boeotiens in Fr. 43 und der Wortlaut mit demjenigen bei Pseudoscymnos in vers. 545 (Fr. 60) auffallend.

Fr. 62 (M. Fr. 62 b).

Steph. v. Byzanz s. v. *Βοιόν: Βοιόν, ἣν Ὅμηρος ἔοικε Βοίβην λέγειν. ἔστι δὲ Δωρικὴ πόλις οὐδετέρως λεγομένη καὶ θηλυκῶς. ἔστι Βοιαὶ καὶ Κρήτης πόλις . . . . . λέγεται καὶ Βοιαῖος, ὡς Ἔφορος.*

Fr. 63.[4]

Konon ed. Höfer XXXVI: *Γόρτυνα· ἡ λζ' ὡς Φιλόνομος, ὁ Σπαρτιάτης προδοὺς Λακεδαίμονα Δωριεῦσι δῶρον ἔχει Ἀμύκλας, καὶ συνοικίζει ταύτην ἐξ Ἴμβρου καὶ Λήμνου. τρίτῃ δὲ γενεᾷ στασιάσαντες πρὸς Δωριέας μετανίστανται Ἀμυκλῶν, συμπαραλαβόντες δὲ καί τινας Σπαρτιατῶν, ἡγουμένων αὐτοῖς Πόλιδος καὶ Δελφοῦ ἔπλεον ἐπὶ τῆς Κρήτης . . . . . . οἱ δὲ λοιποὶ ἅπαντες Γόρτυναν μηδενὸς εἴργοντος λαβόντες ταύτην ἅμα τῶν περιοίκων Κρητῶν συνοικίζουσιν.*

Fr. 63 a.

Plut. Qu. gr. 21 (Bernard. II, 332): *Τυῤῥηνούς φασι τοὺς τὰς Ἀθηναίων θυγατέρας καὶ γυναῖκας ἐκ Βραύρωνος ἁρπάσαντας, ὁπηνίκα Λῆμνον καὶ Ἴμβρον κατῴκουν, εἶτ' ἐκπεσόντας εἰς τὴν Λακωνικὴν ἀφικέσθαι καὶ γενέσθαι ἐπιμιξίαν αὐτοῖς μέχρι παίδων γενέσεως πρὸς τὰς ἐγχωρίους*

[1] s. Anmerk. 2, S. 16.
[2] s. Anmerk. 1. S. 16.
[3] s. Anmerk. 1. S. 9.
[4] s. Höfer a. a. O. S. 71.

γυναῖκας· ἐκ δ' ὑποψίας καὶ διαβολῆς πάλιν ἀναγκασθέντας ἐκλιπεῖν τὴν Λακωνικήν, μετὰ παίδων καὶ γυναικῶν εἰς Κρήτην κατᾶραι, Πόλλιν ἡγεμόνα καὶ Δελφὸν[1] ἔχοντας.

Fr. 63 b.

Plut. mul. virt. 8, p. 247 D: *Ταῦτ' ἔπραττον οἱ Πελασγοὶ Πόλλιν ἡγεμόνα καὶ Δελφὸν*[1] *καὶ Κραταΐδαν Λακεδαιμονίους λαβόντες· ...... τοὺς δὲ πλείστους οἱ περὶ Πόλλιν ἔχοντες εἰς Κρήτην ἔπλευσαν.*

Fr. 64.

Konon XXXVI: *[Πόλλιδος καὶ τοῦ ἀδελφοῦ ἡγουμένων ἔπλεον ἐπὶ τῆς Κρήτης]. ἐν τῷ παράπλῳ δὲ τοῦδε τοῦ στόλου Μῆλον ἀποδασμὸς οἰκίζει καὶ τὸ τῶν Μηλίων γένος ἐνθένδε οἰκειοῦται Σπαρτιάτας.*

Fr. 64 a.

Plut. mul. virt. 8, p. 247 D: *[οἱ Πελασγοὶ* (s. Fr. 63 b) *..... λαβόντες·] καὶ μέρος μὲν αὐτῶν ἐν Μήλῳ κατῴκησαν.*

Die Zugehörigkeit dieser Stücke zu den Fragmenten des Ephorus erweist Höfer a. a. O. mit Erfolg aus Strabo VIII, 364 (s. o. S. 19 Fr. 63).

Fr. 65.

Pseudoscymnus v. 550—2:

ἐν τῷ πόρῳ δὲ κειμένη τῷ Κρητικῷ
ἄποικός ἐστιν Ἀστυπάλαια Μεγαρέων,
νῆσος πελαγία.

Vgl. Strabo X, 488: *Ἡ μὲν οὖν Ἀστυπάλαια ἱκανῶς ἐστι πελαγία*; Steph. Byz. s. v. *Ἀστυπάλαια, νῆσος μία τῶν Κυκλάδων. ἐκαλεῖτο δὲ Πύῤῥα Καρῶν κατεχόντων, εἶτα Πύλαια, εἶτα θεῶν τράπεζα* (wohl bei einem Dichter) *διὰ τὸ ἀνθηρὸν αὐτῆς. ἐκλήθη δ' ἀπὸ Ἀστυπαλαίας τῆς Ἀγκαίου μητρός.*

Die Insel gehört nach Ovid. Metam. VIII, 461 f. zu den Eroberungen des Minos, s. Busolt I², p. 354.

Fr. 66.

Pseudoscymnus v. 553—8:

μετὰ δὲ ταῦτα κατ' Ἐπίδαυρον ἡ
πρότερον μὲν Οἰνώνη προσηγορεύετο,
555 *ὕστερον ἀπ' Αἰγίνης δὲ τῆς Ἀσωπίδος*
Αἴγιναν ἐκάλεσεν κατασχὼν Αἰακός·
καὶ πλησίον ταύτῃ Σαλαμίς, ἐν ᾗ λόγος
τὸν Αἰακοῦ Τελαμῶνα βασιλεῦσαί ποτε.

Hierzu vergleiche:

Fr. 66 a (M. Fr. 60).

Strabo VIII, 376: *Ἔφορος δ' ἐν Αἰγίνῃ ἄργυρον πρῶτον κοπῆναί φησιν ὑπὸ Φείδωνος· ἐμπόριον γὰρ γενέσθαι, διὰ τὴν λυπρότητα τῆς χώρας τῶν ἀνθρώπων θαλαττουργούντων ἐμπορικῶς, ἀφ' οὗ τὸν ῥῶπον Αἰγιναίαν ἐμπολὴν λέγεσθαι,* und was bei Strabo kurz vorhergeht 375: *Αἴγινα δ' ἔστι μὲν καὶ τόπος τις τῆς Ἐπιδαυρίας, ἔστι δὲ καὶ νῆσος πρὸ τῆς ἠπείρου ταύτης ....* und: *ἐντεῦθεν γὰρ Αἰακός τε λέγεται καὶ οἱ ἀπ' αὐτοῦ,* und: *ὠνομάζετο δ' Οἰνώνη πάλαι.*[2]

[1] besser *καὶ τὸν ἀδελφόν*.

[2] s. Tozer a. a. O.: Again, in the case of Aegina he notices how the thinness of the soil caused the inhabitants to take to the sea, and by this means to become a successful commercial people.

Zu vergleichen ist: Steph. Byz. s. v. *Αἴγιναι . . . νῆσος, μία τῶν Κυκλάδων, ἥτις Οἰνώνη ἐκαλεῖτο ἀπὸ τῆς Ἀσωποῦ μὲν θυγατρὸς Αἰγίνης, Αἰακοῦ δὲ μητρός.* Von Aeginas Bevölkerung und Reichtum spricht Aristoteles, allerdings mit Übertreibung, bei Athen. VI, 272 D und Schol. Pind. Ol. VIII, 30.[1] Zur Nachricht, daß Pheidon zuerst auf der Insel habe Geld schlagen lassen vgl. in erster Linie Chron. Par. ep. 30: *ἀφ' οὗ Φ[εί]δων ὁ Ἀργεῖος ἐδήμευσ[ε τὰ μ]έ[τρα καὶ σ]ταθμὰ κατεσκεύασε καὶ νόμισμα ἀργυροῦν ἐν Αἰγίνῃ ἐποίησεν* usw., wofür Ephorus allgemein als Quelle angenommen wird.

Als König von Salamis findet Telamon, der Sohn des Aeakos, sich genannt bei Pseudo-apollod. III, 161 ed. Wagner. Vgl. Her. VIII, 64.

Fr. 67.

Pseudoscymnus v. 566—586:

τὸ Σούνιον κάμψαντι δ' ἀπὸ τῆς Ἀττικῆς
Εὔβοια κεῖται νῆσος, ἡ καλουμένη
διὰ τὴν φύσιν τὸ πρότερον, ὥς φασιν, Μάκρις,
ἔπειτεν ἀπὸ τῆς λεγομένης Ἀσωπίδος
570 *χρόνῳ λαβοῦσα τοὔνομ' Εὔβοιαν πάλιν.*
πρώτους δ' ἐν αὐτῇ φασιν οἰκῆσαι προτοῦ
μιγάδας συνοίκους Λέλεγας· ἐκ τῆς δ' Ἀττικῆς
τὸν Ἐρεχθέως διαβάντα Πάνδωρον κτίσαι
πόλιν μεγίστην τῶν ἐν αὐτῇ Χαλκίδα,
575 *Αἶκλον δ' Ἐρέτριαν, ὄντ' Ἀθηναῖον γένει,*
τὴν δ' ἐναλίαν Κήρινθον ὡσαύτως Κόθον,
Δρύοπας δὲ τὴν Κάρυστον ὠνομασμένην·
ἡ δ' Ἑστίαια γέγονε Περραιβῶν κτίσις.
κεῖνται δὲ καὶ νησῖδες αὐτῆς πλησίον,
580 *Σκῦρος Πεπάρηθος Σκίαθος, ὧν Κρῆτες μὲν οἱ*
μετὰ Σταφύλου διαβάντες ἐκ Κνωσσοῦ ποτε
Πεπάρηθον ἐγγὺς κειμένην τ' αὐτῆς Ἴκον
νῆσον συνοικίζουσι, τὴν Σκῦρον δὲ καί
τὴν Σκίαθον ἐκ Θρᾴκης διαβάντες, ὡς λόγος,
585 *Πελασγιῶται· πάλι δ' ἐρήμους γενομένας*
αὐτὰς ἅπασας Χαλκιδεῖς συνῴκισαν.

Fr. 67a (M. Fr. 69).

Plin. IV, 63: Euboea et ipsa avolsa Boeotiae tam modico interfluente Euripo, ut ponte iungatur[2] . . . . antea vocitata est Chalcodontis aut Macris, ut Dionysius et Ephorus tradunt.

[1] Ob auch die bei Strabo VIII. 375 am Schl. gebrachte rationalistische Erklärung der etymologisierenden Nachricht: *Μυρμιδόνας δὲ κληθῆναί φασιν οὐχ ὡς ὁ μῦθος τοὺς Αἰγινήτας, ὅτι λοιμοῦ μεγάλου συμπεσόντος οἱ μύρμηκες ἄνθρωποι γένοιντο κατ' εὐχὴν Αἰακοῦ, ἀλλ' ὅτι μυρμήκων τρόπον ὀρύττοντες τὴν γῆν ἐπιφέροιεν ἐπὶ τὰς πέτρας ὥστ' ἔχειν γεωργεῖν, ἐν δὲ τοῖς ὀρύγμασιν οἰκεῖν φειδόμενοι πλίνθων* auf Ephorus zurückgeht, lasse ich dahingestellt. Unmittelbar darauf folgt *Οἰνώνη* usw. Vgl. was Strabo VII, 316 über die Dardanier berichtet. S. oben S. 4.

[2] Aus dem J. 410 wird von Diod. XIII. 47, 3 nach Ephorus berichtet: *Χαλκιδεῖς δὲ καὶ σχεδὸν οἱ λοιποὶ πάντες οἱ τὴν Εὔβοιαν κατοικοῦντες ἀφεστηκότες ἦσαν Ἀθηναίων, καὶ διὰ τοῦτο περιδεεῖς ἐγίνοντο, μήποτε νῆσον οἰκοῦντες ἐκπολιορκηθῶσιν ὑπ' Ἀθηναίων θαλασσοκρατούντων· ἠξίουν οὖν Βοιωτοὺς κοινῇ χῶσαι τὸν Εὔριπον, ὥστε συνάψαι τὴν Εὔβοιαν τῇ Βοιωτίᾳ.*

Fr. 67[b].

Steph. Byz. s. v. *Εὔβοια νῆσος μία τῶν ἑπτά, παραμήκης, ἣ καὶ Μάκρις.*

Fr. 67[c].

Strabo X, 444 am Ende: *διὰ δὲ τὴν στενότητα καὶ τὸ λεχθὲν μῆκος ὑπὸ τῶν παλαιῶν Μάκρις ὠνομάσθη.*

Vgl. Schol. Apoll. Rhod. I, 1024: *Μακριέων: τῶν καλουμένων Μακρώνων, οἵ εἰσιν ἄποικοι Εὐβοέων, ἀφ' οὗ καὶ Μάκρωνες ἐκλήθησαν· καὶ Μάκρις γὰρ ἡ Εὔβοια ἐκαλεῖτο. Πελασγικὸν δὲ εἶπεν διὰ τὸ πλησιόχωρον εἶναι τὴν Εὔβοιαν τῇ Πελοποννήσῳ, ἣ πρότερον ἐκαλεῖτο Πελασγία* (s. Fr. 50). *ἦσαν δὲ ἀστυγείτονες τῶν Δολιόνων οἱ Μάκρωνες.* Vgl. auch zu II, 392; IV, 1175.

Zu vers. 569 vgl. Eustath. ad Il. II, 542: *κληθῆναι, καθὰ καὶ Εὔβοιαν ἀπὸ ἡρωΐνης.*

Zu vers. 572 vgl. Strabo VII, 322: *τῇ γὰρ ἐτυμολογίᾳ τὸ συλλέκτους τινὰς γεγονέναι ἐκ παλαιοῦ καὶ μιγάδας αἰνίττεσθαί μοι δοκεῖ.* S. Ed. Meyer, G. d. A. II, 38. Wer die Leleger nach Boeotien versetzte, konnte sie auch auf Euboea wohnen lassen; Herodot. I, 171: *εἰσὶ δὲ τούτων Κᾶρες μὲν ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων. τὸ γὰρ παλαιὸν ἐόντες Μίνω ὑπήκοοι καὶ καλεόμενοι Λέλεγες εἶχον τὰς νήσους. . . . .*

Zu Pandorus heißt es bei Eustath. ad Iliad. II, 542: *Ἐρεχθέως, υἱοῦ Πανδίονος, γίνεται Κέκροψ, Ὀρνεύς, Πάνδωρος. . . . , Πάνδωρος δὲ Εὔβοιαν οἰκίζει,* während bei Apollod. bibl. III, 15, 1, 2 Pandoros nur als Sohn des Erechtheus genannt wird.

Zu der Besiedlung von Eretria, Chalkis und Kerinthos, sowie zu *Ἄικλος* und *Κόθος* sind folgende Stellen heranzuziehen:

Vell. Paterc. 1, 4, 1: Athenienses in Euboea Chalcida et Eretriam colonis occupavere.

Plut. qu. gr. 22: *Κόθος καὶ Αἴκλος, οἱ Ξούθου παῖδες, εἰς Εὔβοιαν ἧκον οἰκήσοντες Αἰολέων τότε τὰ πλεῖστα τῆς νήσου κατεχόντων.*

Strabo X, 446/7: *Μετὰ δὲ τὸν Γεραιστὸν Ἐρέτρια πόλις μεγίστη τῆς Εὐβοίας μετὰ Χαλκίδα. ἔπειθ' ἡ Χαλκὶς μητρόπολις τῆς νήσου τρόπον τινά, ἐπ' αὐτῷ τῷ Εὐρίπῳ ἱδρυμένη. ἀμφότεραι δὲ πρὸ τῶν Τρωικῶν ὑπ' Ἀθηναίων ἐκτίσθαι λέγονται, καὶ μετὰ τὰ Τρωικὰ Ἄικλος καὶ Κόθος ἐξ Ἀθηνῶν ὁρμηθέντες ὁ μὲν τὴν Ἐρέτριαν ᾤκισε, Κόθος δὲ τὴν Χαλκίδα·*[1] *καὶ τῶν Αἰολέων δέ τινες ἀπὸ τῆς Πενθίλου στρατιᾶς κατέμειναν ἐν τῇ νήσῳ, τὸ δὲ παλαιὸν καὶ Ἄραβες οἱ Κάδμῳ συνδιαβάντες.*

Strabo X, 445: *καὶ Ἐλλοπία δ' ὠνομάσθη ἀπὸ Ἔλλοπος τοῦ Ἴωνος. οἱ δὲ Αἴκλου καὶ Κόθου ἀδελφόν φασιν, ὃς καὶ τὴν Ἐλλοπίαν κτίσαι λέγεται, χωρίον ἐν τῇ Ὠρείᾳ καλουμένῃ τῆς Ἱστιαιώτιδος πρὸς τῷ Τελεθρίῳ ὄρει καὶ τὴν Ἱστίαιαν προσκτήσασθαι καὶ τὴν πεδιάδα καὶ Κήρινθον καὶ Αἰδηψὸν καὶ Ὀροβίας, ἐν ᾧ μαντεῖον ἦν ἀψευδέστατον.*

Alcman. Fr. 37 (Anthol. graeca ed. Crusius): *Ἄικλον Ἀλκμάων ἁρμόξατο.*

Steph. Byz. s. v. *Ἐλευθερίς, πόλις Βοιωτίας Ὠρωποῦ πλησίον, Κόθου καὶ Αἴκλου [κτίσμα].*

Die Dryoper als Besiedler von Karystos erscheinen bei Thuc. VII, 57, 4 *καὶ τὸ πλεῖστον Ἴωνες ὄντες οὗτοι πάντες ἀπ' Ἀθηναίων πλὴν Καρυστίων (οὗτοι δ' εἰσὶ Δρύοπες) . . . .,* dann bei Diodor IV, 37, 2: *τῶν δ' ἐκπεσόντων Δρυόπων οἱ μὲν εἰς τὴν Εὔβοιαν καταντήσαντες ἔκτισαν πόλιν Κάρυστον.*

Über die Perrhaeber als frühere Bewohner von Hestiaea handelt Strabo IX, 437: *κατασχόντων δὲ τῶν Περραιβῶν αὐτήν, οἵ καὶ τῆς Εὐβοίας τὴν Ἱστιαιῶτιν κατεστρέψαντο καὶ τοὺς ἀνθρώπους εἰς τὴν ἤπειρον ἀνέσπασαν, διὰ τὸ πλῆθος τῶν ἐποικησάντων Ἱστιαίων τὴν χώραν ἀπ' ἐκείνων οὕτως ἐκάλεσαν,* und 446: *ἔνιοι δὲ τοὺς Ὠρείτας πόλιν ἔχοντας ἰδίαν φασὶ πολεμουμένους ὑπὸ τῶν*

[1] Ob die bedeutsame Abweichung von Pseudoscymnus der Schuld des letzteren oder Strabo zuzuweisen, ist kaum auszumachen, da für jede Nachricht nur ein Zeuge ist.

Ἑλλοπιέων μεταβῆναι καὶ συνοικῆσαι τοῖς Ἑστιαιεῦσι, μίαν δὲ γενηθεῖσαν πόλιν ἀμφοτέροις χρήσασθαι τοῖς ὀνόμασι . . . . . εἴρηται δ' ὅτι καὶ ἐν Θετταλίᾳ ἀπὸ τῶν ἀνασπασθέντων ἐνθένδε (τῆς Εὐβοίας scil.) ὑπὸ Περραιβῶν ὠνόμασται.

Fr. 68 (M. Fr. 69 b).

Steph. Byz. s. v. Ἑστίαια . . . . Ἔφορος δὲ τὸ ἐθνικὸν Ἑστιαιός φησι.

Fr. 69 (M. Fr. 33).

Steph. Byz. s. v. Ἀθῆναι (Min. S. 34, 19) ἕκτη Εὐβοίας, Δίαντος κτίσμα, ὡς Ἔφορος τρίτῃ „Ἄβαντος δὲ γίνονται παῖδες Ἄλκων καὶ Δίας καὶ Ἀρέθουσα, ὧν ὁ μὲν Δίας κτίσας πόλιν οὕτως ἀπὸ τῆς πατρίδος ὠνόμασεν“ . . . . ταύτας δ' Ἀθήνας Διάδας λέγεσθαι.

Vgl. Strabo IX, 446: Ἔστι δ' ἐν τῷ Ὠρεῷ τούτῳ τό τε Κήναιον πλησίον καὶ ἐπ' αὐτῷ τὸ Δῖον καὶ Ἀθῆναι Διάδες, κτίσμα Ἀθηναίων.

Von Alkon redet, sicher nach einer älteren Quelle, Proxenos im Schol. z. Apollon. Rhod. I, 97: τὸν δὲ Ἄλκωνα Πρόξενός φησιν Ἐρεχθέως. φυγεῖν δ' αὐτὸν λέγει ἀπὸ τῆς Ἀττικῆς μετὰ τῆς θυγατρὸς Χαλκιόπης εἰς Εὔβοιαν, ἐξαιτοῦντος δὲ τοῦ πατρὸς οὐκ ἐκδοῦναι τοὺς Χαλκιδέας.

Die Besiedlung der in der Nähe von Euboea gelegenen Kykladen durch Minos und seine Söhne finden wir bei Thukydides I, 4: Μίνως παλαίτατος ὧν ἀκοῇ ἴσμεν ναυτικὸν ἐκτήσατο καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησε καὶ τῶν Κυκλάδων νήσων ἦρξέ τε καὶ οἰκιστὴς πρῶτος τῶν πλείστων ἐγένετο, Κᾶρας ἐξελάσας καὶ τοὺς ἑαυτοῦ παῖδας ἡγεμόνας ἐγκαταστήσας, und Aristot. II, 1271 b s. oben S. 19.

Bei Pseudoscymnus ist noch Staphylus eingeführt, nicht ein Sohn, sondern ein Enkel des Minos, in Wirklichkeit eine Abzweigung des Dionysos; durch die Ariadnesage wird er zu einem Sohne des Weingottes wie seine Brüder Oinopion, Thoas, Peparethos. Der Bericht über die von Kreta ausgehende Besiedlung der Kykladen findet sich eine sonderbare Variation bei Diod. V, 79, 2, wo Rhadamanthys die Inseln an die Mitglieder seines Hauses verschenkt. Hier fällt Peparethus dem Staphylus zu. Eine besondere, rationalistische Entwicklung der Sage zeigt attischen Einfluß. Plut. Thes. 20 heißt es: ἔνιοι δὲ καὶ τεκεῖν ἐκ Θησέως Ἀριάδνην Οἰνοπίωνα καὶ Στάφυλον. So wird Staphylos der Nachkomme des attischen Nationalhelden, und wie weit man in der Selbstverherrlichung gehen mochte, davon gibt Isokrates panath. 43 uns einen Begriff: Καὶ πρῶτον μὲν (οἱ Ἀθηναῖοι) τὰς Κυκλάδας νήσους, περὶ ἃς ἐγένοντο πολλαὶ πραγματεῖαι κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν κατεχομένας ἐκβαλόντες ἐκείνους οὐκ ἐξιδιώσασθαι τὰς χώρας ἐτόλμησαν ἀλλὰ τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κατῴκισαν εἰς αὐτάς.

Was die Besiedlung von Skyros und Skiathos anbetrifft, so finden wir bei Pseudoscymnus eine Abweichung von der Überlieferung, die z. B. bei Thuc. I, 98 und Corn. Nepos, Cim. 2, 5 erst zu Cimons Zeit die dort wohnenden, aus Thessalien herübergekommenen Doloper vertreiben und das Gebiet mit athenischen Kleruchen besiedeln läßt. Nur eine Stelle erwähnt die Pelasger neben den Karern: Nicol. Dam. Fr. 47 M. bei Stephanus Byz. s. v. Σκῦρος, νῆσος, περὶ ἧς Νικόλαος ἐν πέμπτῳ „Σκῦρον δὲ τὸ μὲν παλαιὸν ᾤκουν Πελασγοί τε καὶ Κᾶρες“. Die Verwandtschaft zwischen Ephorus und Nikolaus ist bekannt, wir finden sie auch noch bestätigt durch Diod. Sic. XI, 60, 2 (Κίμων) Σκῦρον δὲ Πελασγῶν ἐνοικούντων καὶ Δολόπων ἐξεπολιόρκησε. Daß die Chalkidier auf ihrem Wege nach der Chalkidike die dazwischen liegenden Inseln besetzten, ist begreiflich, aber außer unserer Stelle nicht überliefert.

Fr. 70.

Pseudoscymnus 587—91:

> *ἀπέναντι δ' Εὐβοίας κατοικοῦσιν Λοκροί,*
> *ὧν πρῶτος ἦρξεν, ὥς λέγουσ', Ἀμφικτύων*
> *ὁ Δευκαλίωνος, ἐχόμενος δ' ἀφ' αἵματος*
> 590 *Αἰτωλός, εἶτα Φύσκος, ὃς γεννᾷ Λοκρόν,*
> *ὃς τοὺς Λέλεγας ὠνόμασεν ἀφ' ἑαυτοῦ Λοκρούς.*

Die Genealogie stimmt mit der bei Stephanus überlieferten überein, der in vielen Fällen neben Strabo auch Ephorus selbst benutzt, sicher häufiger, als es bei dem jetzigen Stande der Überlieferung zu erkennen ist. Die Stelle lautet: Steph. Byz. s. v. *Φύσκος. πόλις Λοκρίδος, ἀπὸ Φύσκου τοῦ Αἰτωλοῦ τοῦ Ἀμφικτύονος τοῦ Δευκαλίωνος ..... Φύσκος δέ, ἀφ' οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί.* Die Umnennung der Leleger in Lokrer finden wir bei Aristoteles, dessen vielfach nahe Verwandtschaft mit Ephorus anerkannt ist:

Strabo VII, 322: *Ἐν δὲ τῇ Αἰτωλῶν (πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων....* Daß Ephorus sich auch hier, wie bei anderen Anlässen auf Hesiod gestützt hat, zeigt das an derselben Stelle bei Strabo gebrachte Frgm. 115 Rzach.: *μάλιστα δ' ἄν τις Ἡσιόδῳ πιστεύσειεν οὕτως περὶ αὐτῶν εἰπόντι:*

> *Ἤτοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν.*
> *τούς ῥά ποτε Κρονίδης, Ζεὺς ἄφθιτα μήδεα εἰδώς*
> *λεκτοὺς ἐκ γαίης λαοὺς πόρε Δευκαλίωνι.*

Zu vergleichen ist auch Hecat. Fr. 342 (Mueller, F. H. G. I, S. 26) und Eustath. ad Il. II, v. 531.

Fr. 71.

Pseudoscymnus 592—96:

> *ἑξῆς δὲ τούτων Δωριεῖς μικρὰς πόλεις,*
> *Ἐρινεὸν Βοιόν τε καὶ Κυτίνιον,*
> *ἀρχαιοτάτας ἔχουσι Πίνδον τ' ἐχομένην,*
> 595 *ἃς Δῶρος Ἕλληνος γενόμενος ᾤκισεν·*
> *τούτων δ' ἄποικοι πάντες εἰσὶ Δωριεῖς.*

Zu vergleichen und ebenfalls auf Ephorus zurückzuführen ist[1] Strabo IX, 427: *Τοῖς δὲ Λοκροῖς τοῖς μὲν ἑσπερίοις συνεχεῖς εἰσιν Αἰτωλοί, τοῖς δ' Ἐπικνημιδίοις Αἰνιᾶνες συνεχεῖς οἱ τὴν Οἴτην ἔχοντες, καὶ μέσοι Δωριεῖς. οὗτοι μὲν οὖν εἰσιν οἱ τὴν τετράπολιν οἰκήσαντες, ἥν φασιν εἶναι μητρόπολιν τῶν ἁπάντων Δωριέων, πόλεις δ' ἔσχον Ἐρινεόν, Βοῖον, Πίνδον, Κυτίνιον· ..... τινὲς δὲ Ἀκύφαντα λέγουσι τὴν Πίνδον.*

Unmittelbar an diese Auseinandersetzung schließt sich der Bericht über die Dankbarkeit des Dorerkönigs Aigimius gegen Herakles, wie wir ihn seinem Inhalte nach unter des Ephorus Namen bei Stephanus s. v. *Δυμᾶνες* finden (M. Fr. 10): *φυλὴ Δωριέων· ἦσαν δὲ τρεῖς, Ὑλλεῖς καὶ Πάμφυλοι καὶ Δυμᾶνες ἐξ Ἡρακλέους. καὶ προσετέθη ἡ Ὑρνηθία, ὡς Ἔφορος α' „Αἰγίμιος γὰρ ἦν τῶν περὶ Οἴτην Δωριέων βασιλεύς· ἔσχε δὲ δύο παῖδας Πάμφυλον καὶ Δυμᾶνα, καὶ τὸν τοῦ Ἡρακλέους Ὕλλον ἐποιήσατο τρίτον, χάριν ἀποδιδοὺς ἀνθ' ὧν Ἡρακλῆς ἐκπεπτωκότα κατήγαγεν.“* Ich setze auch die Strabostelle her: *τούτων ὁ βασιλεὺς Αἰγίμιος ἐκπεσὼν τῆς ἀρχῆς κατήχθη πάλιν, ὡς ἱστοροῦσιν, ὑφ' Ἡρακλέους· ἀπεμνημόνευσεν οὖν αὐτῷ τὴν χάριν τελευτήσαντι περὶ τὴν Οἴτην·*

[1] s. Hoefer, Konon, S. 49.

Ὕλλον γὰρ εἰσεποιήσατο, τὸν πρεσβύτατον τῶν ἐκείνου παίδων, καὶ διεδέξατο ἐκεῖνος τὴν ἀρχὴν καὶ οἱ ἀπόγονοι. ἐντεῦθεν ὁρμηθεῖσι τοῖς Ἡρακλείδαις ὑπῆρξεν ἡ εἰς Πελοπόννησον κάθοδος. Vgl. auch Strabo IX, 425: *ὅ τε Παρνασσὸς μεταξὺ ἱδρυμένος καὶ ἡ Δωριέων τετράπολις.*

